# Ἀκολουθία Ἱερᾶς Παρακλήσεως τῶν Ἁγίων Κυπριανοῦ καὶ Ἰουστίνης

**Ποίημα**

τοῦ Ἁγιορείτου Ὁσιολογιωτάτου
π. Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου,
Ὑμνογράφου τῆς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας.
Ἐν ἔτει 1976.

**Δίστιχον**

Κυπριανὲ ῥύσασθε σὺν Ἰουστίνῃ,
Γεράσιμον μάστιγος τῆς τῶν δαιμόνων.

## Ἀκολουθία Παρακλήσεως

Ὁ Ἱερεὺς ἄρχεται τῆς Ἱερᾶς Παρακλήσεως μὲ τὴν δοξολογικὴν ἐκφώνησιν·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης· Ἀμήν.

Ψαλμὸς ρμβ΄ (142)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ Σου· καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου, ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρὸς Σὲ τὰς χεῖρας μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν Σου ἀπ᾿ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός Σου, ὅτι ἐπὶ Σοὶ ἤλπισα· γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς Σὲ ἦρα τὴν ψυχήν μου· ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς Σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά Σου, ὅτι Σὺ εἶ ὁ Θεός μου· τὸ πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με· ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός Σού εἰμι.

Καὶ εὐθὺς ψάλλεται ὑπὸ τῶν Χορῶν τετράκις ἐξ ὑπαμοιβῆς μετὰ τῶν οἰκείων στίχων·

Ἦχος δ΄.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ Ἅγιον αὐτοῦ.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν...

Εἶτα τὰ παρόντα Τροπάρια.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς Ἱεράρχης καὶ στεῤῥὸς ἀθλοφόρος, Κυπριανὲ Ἱερομάρτυς Κυρίου, καὶ Ἰουστῖνα Μάρτυς καλλιπάρθενε, πάσης ἡμᾶς ῥύσασθε, συμφορᾶς καὶ ἀνάγκης, καὶ ἐξ ἐπιθέσεων, τοῦ δολίου βελίαρ, καὶ βοηθεῖτε πᾶσι συμπαθῶς, τοῖς τρυχομένοις, κακίᾳ τοῦ ὄφεως.

Δόξα... Τὸ Ἀπολυτίκιον τῶν Ἁγίων.

Ἦχος γ΄. Θείας πίστεως.

Θείου Πνεύματος, τῇ χορηγίᾳ, φῶς προσέλαβες, θεογνωσίας, Κυπριανὲ καταισχύνας τὸν δράκοντα· καὶ μαρτυρίου τὸν δρόμον διήνυσας, σὺν Ἰουστίνῃ ὁμοῦ τῇ θεόφρονι· μεθ᾽ ἧς πρέσβευε, Τριάδι τῇ πανοικτίρμονι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν... Θεοτοκίον.

Οὐ σιωπήσωμέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τὶς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων; τὶς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ἀναγνώστης·

Ψαλμὸς ν΄ (50).

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου· ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με· ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις Σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι

ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου, καὶ τὸ Πνεῦμά Σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς Σου, καὶ ἀσεβεῖς ἐπὶ Σὲ ἐπιστρέψουσι. Ῥῦσαι με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην Σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου· ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ· τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν Σου μόσχους.

Καὶ ἄρχονται οἱ Χοροὶ ψάλλοντες ἐξ ὑπαμοιβῆς, πραείᾳ τῇ φωνῇ και ἐν εὐλαβείᾳ, τὸν ἑξῆς Κανόνα, προτάσσοντες τῶν μὲν δύο πρώτων τροπαρίων τὸ ἐφύμνιον· Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν, τῶν δὲ δύο ὑπολοίπων τοὺς δύο στίχους τῆς μικρᾶς δοξολογίας· Δόξα..., Καὶ νῦν...

Ὁ Κανὼν, οὗ ἡ ἀκροστιχίς·

«Δυὰς σώζοις ἡμᾶς τῶν Ἁγίων. Γερασίμου».

### Ὠδὴ α΄.

Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Δυὰς τῶν Ἁγίων πανευκλεής, Τριάδα τὴν θείαν δυσωπήσατε ἐκτενῶς, ὦ Κυπριανὲ σὺν Ἰουστίνῃ, ἐκλυτρωθῆναι ἡμᾶς πάσης θλίψεως.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Ὑψόθεν βραβεύσατε ἐκ Θεοῦ, τοῖς περισχεθεῖσι, τῇ κακίᾳ τοῦ δυσμενοῦς, ὦ Κυπριανὲ σὺν Ἰουστίνῃ, ἀπαλλαγὴν καὶ ταχεῖαν ἐκλύτρωσιν.

Δόξα...

Ἀθλήσει δοξάσαντες τὸν Χριστόν, παθῶν ἀδοξίας, καὶ κηλίδων τῶν τῆς ψυχῆς, ὦ Κυπριανὲ σὺν Ἰουστίνῃ, τοὺς προσιόντας ὑμῖν ἐκκαθάρατε.

Καὶ νῦν... Θεοτοκίον.

Σαρκὸς ὁμοιώματι ὑπὲρ νοῦν, τεκοῦσα Παρθένε, τὸν Σωτῆρα καὶ Ποιητήν, Αὐτὸν ἐκδυσώπει Θεοτόκε, πάντας σωθῆναι τοὺς Σὲ μεγαλύνοντας.

### Ὠδὴ γ΄.

Οὐρανίας ἁψῖδος.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Σωτηρίας λιμένα, τὸν σὸν ναὸν ἔχοντες, πάσης τρικυμίας καὶ ζάλης, βίου ῥυόμεθα, Κυπριανὲ ἱερέ, τούτῳ προστρέχοντες πίστει, καὶ τὴν σὴν ἀντίληψιν, ἐπικαλούμενοι.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Ὡς λαβόντες τὴν χάριν, παρὰ Θεοῦ Ἅγιοι, λύειν μηχανὰς τοῦ Βελίαρ, ὑμῶν δεήσεσι, Κυπριανὲ ἱερέ, καὶ Ἰουστῖνα θεόφρον, ἐκ τῆς τούτου ῥύσασθε, ἡμᾶς κακώσεως.

Δόξα...

Ζηλωτὰς καλῶν ἔργων, βίῳ σεμνῷ δείξατε, τοὺς εἰλικρινῶς προσιόντας, ὑμῶν τῇ χάριτι, Κυπριανὲ ἱερέ, καὶ Ἰουστῖνα θεόφρον, ἱλασμὸν αἰτούμενοι, ἡμῖν καὶ ἔλεος.

Καὶ νῦν... Θεοτοκίον.

Ὁ περίδοξος θρόνος, τὸ τοῦ Θεοῦ σκήνωμα, Κεχαριτωμένη Παρθένε, σκεῦος με ἔργασαι, δι᾽ ἐναρέτου ζωῆς, τῆς θεϊκῆς χορηγίας, τὸν θερμῶς προστρέχοντα, ὑπὸ τὴν σκέπην Σου.

Διάσωσον Κυπριανὲ θεοφάντορ σὺν Ἰουστίνῃ, πάσης βλάβης καὶ ἐπηρείας τοῦ ὄφεως, τοὺς καταφεύγοντας πόθῳ ὑμῶν τῇ σκέπῃ.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Ὁ Ἱερεὺς τὴν κάτωθι Δέησιν, τῶν Χορῶν ἀμοιβηδὸν μελπόντων τό· Κύριε, ἐλέησον, δωδεκάκις, ἀνὰ τρὶς τετράκις.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα, ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα, ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως, ἀφέσεως τῶν ἁμαρτιῶν, ἀπαλλαγῆς ἀπὸ παντὸς πάθους καὶ σατανικῆς ἐπηρείας, τῶν δούλων τοῦ Θεοῦ (δείνων)

(Μνημονεύονται τὰ ὀνόματα τῶν ὑπὲρ ὧν ἡ Ἱερὰ Παράκλησις τελεῖται).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Κάθισμα.

Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Πρεσβείαις ὑμῶν, ἀπαύστως τειχιζόμενοι, ἐχθροῦ πονηροῦ, τὰς μηχανὰς ἐκτρέπομεν, Κυπριανὲ μακάριε, Ἰουστῖνα τε νύμφη τοῦ Κτίσαντος, καὶ διὰ τοῦτο τὴν χάριν ὑμῶν, εὐσήμῳ ἐν στόματι κηρύττομεν.

Καὶ συνεχίζουσιν οἱ Χοροὶ τὰς Ὠδὰς δ΄, ε΄ καὶ ϛ΄ τοῦ Κανόνος.

Ὠδὴ δ΄.

Εἰσακήκοα Κύριε.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Ἱλασμόν τε καὶ ἴασιν, καὶ μαγγανειῶν παντοίων ἐκλύτρωσιν, ἐξαιτήσασθε μακάριοι, τοῖς ὑπὸ τὴν σκέπην ὑμῶν σπεύδουσι.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Συντριβέντες ταῖς θλίψεσι, καὶ ταῖς ἐπηρείαις τοῦ πολεμήτορος, τῇ πρεσβείᾳ ὑμῶν σπεύδομεν, ὡς ἂν συνοχῆς πικρᾶς ῥυσθείημεν.

Δόξα...

Ἡ Μονὴ ὑμῶν Ἅγιοι, ὤφθη ἰατρεῖον πάσης κακώσεως· τοὺς ἐν ταύτῃ γὰρ προστρέχοντας, συμφορῶν καὶ πόνων ἀπαλλάσετε.

Καὶ νῦν... Θεοτοκίον.

Μαριὰμ Ὑπεράμωμε, τὴν μεμολυσμένην ψυχήν μου πάθεσιν, ἀποκάθαρον Σῇ χάριτι, καὶ φωτὸς τοῦ θείου με ἀξίωσον.

Ὠδὴ ε΄.

Φώτισον ἡμᾶς.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Ἄνωθεν ἡμᾶς, ἐποπτεύοντες μὴ παύσητε, Ἰουστῖνα καὶ σοφὲ Κυπριανέ, τοὺς τῇ σκέπῃ ὑμῶν πίστει καταφεύγοντας.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Σύτριψον ὀφρύν, τοῦ δολίου πολεμήτορος, τοῦ ζητοῦντος τὴν ἀπώλειαν ἡμῶν, ὦ δυὰς κλεινῶν Ἁγίων θεοδόξαστε.

Δόξα...

Ταύτην τὴν Μονήν, ἀεὶ σκέπετε δεόμεθα, Ἰουστῖνα καὶ σοφὲ Κυπριανέ, καυχωμένην τῇ πλουσίᾳ ἡμῶν χάριτι.

Καὶ νῦν... Θεοτοκίον.

Ὤφθης τοῦ Θεοῦ, ναὸς θεῖος καὶ ὑπέρφωτος, Θεοτόκε σωματώσασα Αὐτόν· διὸ λῦσον τῶν παθῶν μου τὴν σκοτόμαιναν.

Ὠδὴ ϛ΄.

Τὴν δέησιν ἐκχεῶ.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Ναμάτων, τῶν μυστικῶν πεπλησμένοι, ὡς δοξάσαντες Χριστὸν ἐν ἀθλήσει, Κυπριανὲ καὶ σεμνὴ Ἰουστῖνα, τοὺς τῶν παθῶν ἡμῶν ἄνθρακας σβέσατε, καὶ ἀναβλύσατε ἡμῶν, παρακλήσεως ὕδωρ σωτήριον.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Ἀφράστως, τῷ εὐσεβεῖ ὁραθέντες, ἐκδηλώσατε αὐτῷ παραδόξως, Κυπριανὲ καὶ σεμνὴ Ἰουστῖνα, τὴν εὐδοκίαν Θεοῦ τὴν σωτήριον, περὶ τῆς Μάνδρας τῆς ὑμῶν, ἣν φρουρεῖτε ὑμῶν παρακλήσεσι.

Δόξα...

Γαλήνην, καὶ ψυχικὴν σωτηρίαν, καὶ σωμάτων ταχινὴν θεραπείαν, Κυπριανὲ καὶ σεμνὴ Ἰουστῖνα, καὶ μαγειῶν χαλεπῶν ἀπολύτρωσιν, αἰτήσασθε τοῖς εὐλαβῶς, τῇ πρεσβείᾳ ὑμῶν καταφεύγουσι.

Καὶ νῦν... Θεοτοκίον.

Ἰλύος, φθοροποιῶν παθημάτων, οἰκτιρμῶν σου Θεοτόκε τοῖς ῥείθροις, τὴν ῥυπωθεῖσάν μου πλῦνον καρδίαν, καὶ καθαρόν με παράστησον δέομαι, ἐν ὥρᾳ δίκης τῆς φρικτῆς, τοῦ Υἱοῦ Σου τῷ βήματι Ἄχραντε.

Διάσωσον Κυπριανὲ θεοφάντορ σὺν Ἰουστίνῃ, πάσης βλάβης καὶ ἐπηρείας τοῦ ὄφεως, τοὺς καταφεύγοντας πόθῳ ὑμῶν τῇ σκέπῃ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Ὁ Ἱερεὺς μνημονεύει ὡς δεδήλωται, καὶ μετὰ τὴν ἐκφώνησιν·

Ὁ Χορός· Κοντάκιον.

Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.

Ὡς βοηθοὶ καὶ θερμοὶ ἀντιλήπτορες, τῶν προσιόντων ὑμῖν μετὰ πίστεως, παθῶν ἀκαθάρτων λυτρώσασθε, Κυπριανὲ Ἰουστῖνα τε ἔνδοξοι, ἡμᾶς τῇ τοῦ Πνεύματος χάριτι.

Εἶτα τὸ πρῶτον ἐκ τῶν τριῶν Ἀντιφώνων τῶν Ἀναβαθμῶν τοῦ δ΄ Ἤχου.

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη· ἀλλ᾽ Αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου (δίς).

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι (δίς).

Δόξα...

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ Τριαδικῇ Μονάδι, ἱεροκρυφίως.

Καὶ νῦν...

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύονται, ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

Καὶ εὐθὺς τὸ Προκείμενον·

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ (δίς).

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.

Ὁ Ἱερεύς·

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον (ἐκ γ΄).

Ὁ Ἱερεύς·

Σοφία! Ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι.

Ὁ Χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ Ἱερεύς·

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου, τὸ ἀνάγνωσμα. Πρόσχωμεν!

Ὁ Χορός·

Δόξα Σοι, Κύριε, δόξα Σοι.

Ὁ Ἱερεύς·

Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς Αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτά, καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε, λέγοντες, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

Ὁ Χορός·

Δόξα Σοι, Κύριε, δόξα Σοι.

Εἶτα ψάλλει· Ἦχος β΄.

Δόξα...

Ταῖς τῶν Σῶν Μαρτύρων, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν...

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ὄμβροις θείου Πνεύματος, Κυπριανὲ Ἱεράρχα, Ἰουστῖνα πάνσεμνε, τὰς ψυχὰς δροσίσατε ἡμῶν ἄνωθεν, καὶ παθῶν παύσατε, τὴν ἄσπετον φλόγα, τὴν πικρῶς ἡμᾶς ἐκτήκουσαν, καὶ ἅπαν τέχνασμα, καθ᾽ ἡμῶν δολίως κινούμενον, μαγγανειῶν συντρίψατε, ταῖς ὑμῶν θερμαῖς ἀντιλήψεσιν, εἰρήνην βαθεῖαν αἰτούμενοι ἡμῖν παρὰ Χριστοῦ, ὡς ἡμῶν πρέσβεις πρὸς Κύριον, καὶ πταισμάτων ἄφεσιν.

Εὐθὺς ἐκφωνεῖται ὑπὸ τοῦ Ἱερέως ἡ λιτανευτικὴ ἱκεσία·

Σῶσον ὁ Θεὸς τὸν λαόν Σου, καὶ εὐλόγησον τὴν κληρονομίαν Σου· ἐπίσκεψαι τὸν κόσμον Σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας Χριστιανῶν Ὀρθοδόξων, καὶ κατάπεμψον ἐφ᾽ ἡμᾶς τὰ ἐλέη Σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει

τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν μεγάλων Ἱεραρχῶν καὶ οἰκουμενικῶν Διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, Πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου ἐπισκόπου Μύρων τῆς Λυκίας, καὶ Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος τῶν θαματουργῶν· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος καὶ Θεοδώρου τοῦ Στρατηλάτου, τῶν ἁγίων ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· (τοῦ ἁγίου τοῦ Ναοῦ, ἐφ᾽ ὅσον δὲν ἐμνημονεύθη ἐν τοῖς ἄνω)· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· (τοῦ ἁγίου τῆς ἡμέρας), καὶ πάντων Σου τῶν Ἁγίων· Ἱκετεύομέν Σε, μόνε πολυέλεε Κύριε· ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων Σου, καὶ ἐλέησον ἡμᾶς.

Εἶτα, μετὰ τὴν μολπὴν ἀμοιβηδὸν ὑπὸ τῶν Χορῶν τοῦ· Κύριε, ἐλέησον, δωδεκάκις, ἀνὰ τρὶς τετράκις, ἐπισφραγίζει ὁ Ἱερεὺς διὰ τῆς δοξολογικῆς ἐκφωνήσεως·

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς Σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Καὶ ἀποπληροῦσιν οἱ Χοροὶ τὰς λοιπὰς Ὠδὰς τοῦ Κανόνος.

Ὠδὴ ζ΄.

Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Ὡς ἐρρύσω τὸ πάλαι, τὴν γυναῖκα παμμάκαρ ἐκ πικρᾶς μάστιγος, οὕτως ἐκ πάσης βλάβης, καὶ χαλεπῆς μαγείας, ἀνωτέρους διάσωζε, Κυπριανὲ ἱερέ, τοὺς σὲ ὑμνολογοῦντας.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Νοσημάτων παντοίων, καὶ κινδύνων ἐν βίῳ καὶ περιστάσεων, σκανδάλων ὀλεθρίων, μαγγανειῶν καὶ πόνων ἀσινεῖς διασώσατε, Κυπριανὲ ἱερέ, ἡμᾶς σὺν Ἰουστίνῃ.

Δόξα...

Γεωργεῖν θεῖον φόβον, καὶ κατάνυξιν θείαν καὶ βίον κρείττονα, ἡμᾶς τοὺς ἐνοικοῦντας, Ὑμῶν τῇ θείᾳ Μάνδρᾳ, ἐνισχύσατε Ἅγιοι, Κυπριανὲ ἱερέ, καὶ μάρτυς Ἰουστῖνα.

Καὶ νῦν... Θεοτοκίον.

Ἐξ ἀχράντου γαστρός Σου, ὁ ὑπέρθεος Λόγος σάρκα προσείληφε, καὶ ἔσωσε τὸν κόσμον, τῆς πάλαι ἁμαρτίας, Θεοτόκε δι᾽ ἔλεος· ὅθεν σωθῆναι κἀμέ, Αὐτὸν ἀεὶ δυσώπει.

## Ὠδὴ η΄.

Τὸν Βασιλέα.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Ῥυσθεὶς ὁ νέος, τῆς τοῦ ἐχθροῦ μαγγανείας, ὡς προσέφυγεν ἡμῶν τῇ προστασίᾳ, πιστῶς τὴν θείαν χάριν, ὑμῶν ἀνακηρύττει.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Αἶνον προσᾴδει, ὡς δι᾽ ὑμῶν ἰαθεῖσα, ἡμῖν Ἅγιοι γυνὴ ἄλλη ἐν πίστει· πᾶσι γὰρ δωρεῖσθε, ἰάματα ποικίλα.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα τὸν Κύριον.

Σωματικῶν με, καὶ ψυχικῶν νοσημάτων, θεραπεύσατε ὑμῶν τῇ ἀντιλήψει, Κυπριανὲ Πάτερ, ὁμοῦ σὺν Ἰουστίνῃ.

Καὶ νῦν... Θεοτοκίον.

Ἰσχύν μοι δίδου καταπατεῖν Θεοτόκε, τοῦ ἀλάστρορος τὴν κατ᾽ ἐμοῦ μανίαν, ἵνα Σε δοξάζω, τὴν Κεχαριτωμένην.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Καὶ ἐπισυνάπτομεν τὸν Εἱρμὸν τῆς η΄ Ὠδῆς·

Τὸν Βασιλέα, τῶν Οὐρανῶν Ὅν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγγέλων ὑμνεῖτε, καὶ ὑπερυψοῦτε· εἰς πάντας τοὺς αἰῶνας.

## Ὠδὴ θ΄.

Κυρίως Θεοτόκον.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Μαγείας ἀκαθάρτου, ἀσινεῖς τηρεῖτε, καὶ μαγγανείας ἁπάσης μακάριοι, τοὺς ἀδιστάκτῳ καρδίᾳ ὑμῖν προσφεύγοντας.

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν·

Οἱ φύλακες καὶ ῥῦσται, ταύτης ὑμῶν τῆς ποίμνης, Κυπριανὲ Ἰουστῖνα τε ἔνδοξοι, αὐτὴν λυτροῦσθε σκανδάλων τοῦ πολεμήτορος.

Δόξα...

Ὑψίστου νῦν τῷ θρόνῳ, ἐν δόξῃ ἑστῶτες, Κυπριανὲ Ἰουστῖνα τε ἔνδοξοι, τὰς ἐκ καρδίας δεήσεις ἡμῶν προσδέξασθε.

Καὶ νῦν... Θεοτοκίον.

Ὑδάτων ἀπωλείας, ῥῦσαί με Παρθένε, καὶ πρὸς πηγὴν ἀπαθείας με ἴθυνον, ἵνα ζωῆς αἰωνίου γένωμαι μέτοχος.

Καὶ εὐθύς, τοῦ Ἱερέως θυμιῶντος τὸ ἱερὸν Θυσιαστήριον καὶ τὸν εὐσεβῆ Λαόν, οἱ Χοροὶ ψάλλουσι τὰ παρόντα

Μεγαλυνάρια·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν

τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον, Σὲ μεγαλύνομεν.

Τῶν Ἁγίων Μαρτύρων·

Χαίροις θεηγόρε Κυπριανέ, ὁ στεῤῥῶς ἀθλήσας, καὶ αἰσχύνας τὸν δυσμενῆ· χαίροις καλλιμάρτυς, Κυρίου Ἰουστῖνα, ἀστέρες εὐσεβείας ἀειλαμπέστατοι.

Πλάνης καταπτύσας σκότος δεινόν, τῷ φωτὶ προσῆλθες, τῆς Τριάδος Κυπριανέ, διὰ τῆς καλλίστης, παρθένου Ἰουστίνης, μεθ᾽ ἧς καὶ τὸν ἀγῶνα, τὸν θεῖον ἤνυσας.

Χαίρετε προστάται τῶν εὐσεβῶν, Κυπριανὲ Πάτερ, Ἰουστῖνα τε θαυμαστή· χαίρετε μεσῖται, ἡμῶν πρὸς τὸν Δεσπότην, καὶ ταύτης τῆς ἁγίας Μονῆς οἱ ἔφοροι.

Φρίττει τῶν δαιμόνων ἅπας ἑσμός, Κυπριανὲ μάκαρ, Ἰουστῖνα τε εὐκλεής, ὑμῖν τὴν δοθεῖσαν, παρὰ Κυρίου χάριν, καὶ πόῤῥω ἐξ ἀνθρώπων, ἀποδιώκονται.

Ῥύσασθε μαγείας τῆς χαλεπῆς, Κυπριανὲ Πάτερ, Ἰουστῖνα ἡ εὐκλεής, τοὺς τῇ μοχθηρίᾳ αὐτῆς συνεχομένους, ψυχῶν τε καὶ σωμάτων, πάθη ἰώμενοι.

Ταύτην τὴν ἁγίαν ὑμῶν Μονήν, σκέπετε ἀπαύστως, ἀπὸ πάσης ἐπιβουλῆς, Κυπριανὲ Πάτερ, ὁμοῦ σὺν Ἰουστίνῃ, αὐτὴν ἐπευλογοῦντες, ὑμῶν τῇ χάριτι.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Ὁ Ἀναγνώστης·

Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (γʹ).

Δόξα... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν· Δέσποτα, συγχώρησον τὰ ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός Σου.

Κύριε, ἐλέησον (γʹ).

Δόξα... Καὶ νῦν...

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά Σου· ἐλθέτω ἡ βασιλεία Σου· γενηθήτω τὸ θέλημά Σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεὺς τὴν δοξολογικὴν ἐπισφράγισιν·

Ὅτι Σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Οἱ Χοροὶ ψάλλουσι τὸ Ἀπολυτίκιον·

Ἦχος γ΄. Θείας πίστεως.

Θείου Πνεύματος, τῇ χορηγίᾳ, φῶς προσέλαβες, θεογνωσίας, Κυπριανὲ καταισχύνας τὸν δράκοντα· καὶ μαρτυρίου τὸν δρόμον διήνυσας, σὺν Ἰουστίνῃ ὁμοῦ τῇ θεόφρονι· μεθ᾿ ἧς πρέσβευε, Τριάδι τῇ πανοικτίρμονι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἶτα ὁ Ἱερεὺς λέγει τὴν Ἐκτενῆ Δέησιν, τῶν Χορῶν ψαλλόντων τὸ λιτανευτικόν· Κύριε, ἐλέησον (τρίς), μεθ᾿ ἑκάστην δέησιν, ἐξαιρέσει τῆς πέμπτης δεήσεως, μεθ᾿ ἣν ψάλλουσι τοῦτο τεσσαρακοντάκις, ἤτοι τετράκις ἀνὰ δέκα ἕκαστος τῶν Χορῶν ἐναλλάξ·

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα, ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα, ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως, ἀφέσεως τῶν ἁμαρτιῶν, ἀπαλλαγῆς ἀπὸ παντὸς πάθους καὶ σατανικῆς ἐπηρείας, τῶν δούλων τοῦ Θεοῦ (δείνων).

(Μνημονεύονται τὰ ὀνόματα τῶν ὑπὲρ ὧν ἡ Ἱερὰ Παράκλησις τελεῖται).

Ἔτι δεόμεθα, ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν ἐκκλησίαν (ἢ Μονὴν) καὶ τὴν πόλιν (ἢ νῆσον) ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ᾿ ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας Αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα, καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν ἡμῶν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς· ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεύς, στραφεὶς πρὸς δυσμὰς καὶ βλέπων πρὸς τὸν Λαόν, δοξάζει τὸν Θεόν, λέγων· Δόξα Σοι Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα Σοι· τοῦ δὲ Ἀναγνώστου εἰπόντος τὰ γνωστά· Δόξα... Καὶ νῦν..., Κύριε, ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον· εὐθὺς ἡ οἰκεία Ἀπόλυσις, πρὸ δὲ τοῦ ἐπισφραγιστικοῦ τῆς ὅλης Παρακλήσεως· Δι᾿ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν..., ἀσπαζομένων τῶν πιστῶν ἐν κατανύξει καὶ εὐλάβειᾳ βαθείᾳ τὴν ἱερὰν τῶν Ἁγίων Μαρτύρων Εἰκόνα καὶ χριομένων ὑπὸ τοῦ Ἱερέως δι᾿ ἁγίου ἐλαίου ἐκ τῆς κανδήλας αὐτῶν, ψάλλονται ἀργῶς τὰ ἑξῆς·

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας τοὺς προσπίπτοντας πιστῶς, ὑμῶν τῇ ἁγίᾳ εἰκόνι, Κυπριανὲ ἱερέ, Ἰουστῖνα πάνσεμνε, νύμφη Χριστοῦ τοῦ Θεοῦ, πάσης βλάβης λυτρώσασθαι, καὶ τῶν σοφισμάτων, τοῦ δολίου δράκοντος, καὶ μαγειῶν χαλεπῶν, πᾶσι δὲ αἰτεῖσθαι θεόθεν, ἄλυπον ζωὴν ἐν εἰρήνῃ, καὶ πταισμάτων ἄφεσιν δεόμεθα.

Ἦχος πλ. δ΄.

Δέσποινα πρόσδεξαι, τὰ δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἦχος β΄.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ· φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Καὶ στραφεὶς ὁ Ἱερεὺς πρὸς ἀνατολὰς καὶ ἀτενίζων τὴν ἱερὰν Εἰκόνα τοῦ Δεσπότου Χριστοῦ, ἐκφωνεῖ·

Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ὑμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός· Ἀμήν.